# Module 2 Final Exam

Ἄγουσιν (they brought) αὐτὸν πρὸς τοὺς
Φαρισαίους τόν ποτε (formerly) τυφλόν (I have
blind). 14 ἦν δὲ σάββατον ἐν ᾗ ἡμέρᾳ τὸν πηλὸν (I
mud) ἐποίησεν ὁ Ἰησοῦς καὶ ἀνέῳξεν αὐτοῦ
τοὺς ὀφθαλμούς. 15 πάλιν οὖν ἠρώτων αὐτὸν
καὶ οἱ Φαρισαῖοι πῶς ἀνέβλεψεν (he received sight).
ὁ δὲ εἶπεν αὐτοῖς· πηλὸν ἐπέθηκέν (he put) μου
ἐπὶ τοὺς ὀφθαλμοὺς καὶ ἐνιψάμην (he washed) καὶ
βλέπω. 16 ἔλεγον οὖν ἐκ τῶν Φαρισαίων τινές·

οὐκ ἔστιν οὗτος παρὰ θεοῦ ὁ ἄνθρωπος, ὅτι τὸ σάββατον οὐ τηρεῖ. ἄλλοι [δὲ] ἔλεγον· πῶς δύναται ἄνθρωπος ἁμαρτωλὸς τοιαῦτα σημεῖα ποιεῖν; καὶ σχίσμα (split) ἦν ἐν αὐτοῖς. [17]

λέγουσιν οὖν τῷ τυφλῷ πάλιν· τί σὺ λέγεις περὶ αὐτοῦ, ὅτι ἠνέῳξέν σου τοὺς ὀφθαλμούς; ὁ δὲ εἶπεν ὅτι προφήτης ἐστίν. Οὐκ ἐπίστευσαν οὖν οἱ Ἰουδαῖοι περὶ αὐτοῦ ὅτι ἦν τυφλὸς καὶ ἀνέβλεψεν ἕως ὅτου ἐφώνησαν τοὺς γονεῖς (parents) αὐτοῦ τοῦ ἀναβλέψαντος [19] καὶ

ἠρώτησαν αὐτοὺς λέγοντες· οὗτός ἐστιν ὁ υἱὸς
ὑμῶν, ὃν ὑμεῖς λέγετε ὅτι τυφλὸς ἐγεννήθη; πῶς
οὖν βλέπει ἄρτι; [20] ἀπεκρίθησαν οὖν οἱ γονεῖς
αὐτοῦ καὶ εἶπαν· οἴδαμεν ὅτι οὗτός ἐστιν ὁ
υἱὸς ἡμῶν καὶ ὅτι τυφλὸς ἐγεννήθη· [21] πῶς δὲ
νῦν βλέπει οὐκ οἴδαμεν, ἢ τίς ἤνοιξεν αὐτοῦ
τοὺς ὀφθαλμοὺς ἡμεῖς οὐκ οἴδαμεν· αὐτὸν
ἐρωτήσατε, ἡλικίαν ἔχει (he is of age), αὐτὸς περὶ
ἑαυτοῦ λαλήσει. [22] ταῦτα εἶπαν οἱ γονεῖς αὐτοῦ
ὅτι ἐφοβοῦντο τοὺς Ἰουδαίους· ἤδη γὰρ

συνετέθειντο (they agreed) οἱ Ἰουδαῖοι ἵνα ἐάν τις
αὐτὸν ὁμολογήσῃ χριστόν, ἀποσυνάγωγος
γένηται (they would be put out of the synagogue). 23 διὰ
τοῦτο οἱ γονεῖς αὐτοῦ εἶπαν ὅτι ἡλικίαν ἔχει,
αὐτὸν ἐπερωτήσατε. Ἐφώνησαν οὖν τὸν
ἄνθρωπον ἐκ δευτέρου ὃς ἦν τυφλὸς καὶ εἶπαν
αὐτῷ· δὸς δόξαν τῷ θεῷ· ἡμεῖς οἴδαμεν ὅτι
οὗτος ὁ ἄνθρωπος ἁμαρτωλός ἐστιν. 25 ἀπεκρίθη
οὖν ἐκεῖνος· εἰ ἁμαρτωλός ἐστιν οὐκ οἶδα· ἓν
οἶδα ὅτι τυφλὸς ὢν ἄρτι βλέπω. 26 εἶπον οὖν

αὐτῷ· τί ἐποίησέν σοι; πῶς ἤνοιξέν σου τοὺς
ὀφθαλμούς; 27 ἀπεκρίθη αὐτοῖς· εἶπον ὑμῖν ἤδη
καὶ οὐκ ἠκούσατε· τί πάλιν θέλετε ἀκούειν; μὴ
καὶ ὑμεῖς θέλετε αὐτοῦ μαθηταὶ γενέσθαι; 28
καὶ ἐλοιδόρησαν (they reviled) αὐτὸν καὶ εἶπον·
σὺ μαθητὴς εἶ ἐκείνου, ἡμεῖς δὲ τοῦ Μωϋσέως
ἐσμὲν μαθηταί· 29 ἡμεῖς οἴδαμεν ὅτι Μωϋσεῖ
λελάληκεν ὁ θεός, τοῦτον δὲ οὐκ οἴδαμεν πόθεν
ἐστίν. 30 ἀπεκρίθη ὁ ἄνθρωπος καὶ εἶπεν αὐτοῖς·
ἐν τούτῳ γὰρ τὸ θαυμαστόν ἐστιν, ὅτι ὑμεῖς

οὐκ οἴδατε πόθεν ἐστίν, καὶ ἤνοιξέν μου τοὺς
ὀφθαλμούς. 31 οἴδαμεν ὅτι ἁμαρτωλῶν ὁ θεὸς
οὐκ ἀκούει, ἀλλ᾽ ἐάν τις θεοσεβὴς ᾖ (he/she/it may
be Godfearing) καὶ τὸ θέλημα αὐτοῦ ποιῇ τούτου
ἀκούει. 32 ἐκ τοῦ αἰῶνος οὐκ ἠκούσθη ὅτι
ἠνέῳξέν τις ὀφθαλμοὺς τυφλοῦ γεγεννημένου· 33
εἰ μὴ ἦν οὗτος παρὰ θεοῦ, οὐκ ἠδύνατο ποιεῖν
οὐδέν. 34 ἀπεκρίθησαν καὶ εἶπαν αὐτῷ· ἐν
ἁμαρτίαις σὺ ἐγεννήθης ὅλος καὶ σὺ διδάσκεις
ἡμᾶς; καὶ ἐξέβαλον αὐτὸν ἔξω. Ἤκουσεν

Ἰησοῦς ὅτι ἐξέβαλον αὐτὸν ἔξω καὶ εὑρὼν
αὐτὸν εἶπεν· σὺ πιστεύεις εἰς τὸν υἱὸν τοῦ
ἀνθρώπου; 36 ἀπεκρίθη ἐκεῖνος καὶ εἶπεν· καὶ
τίς ἐστιν, κύριε, ἵνα πιστεύσω εἰς αὐτόν; 37
εἶπεν αὐτῷ ὁ Ἰησοῦς· καὶ ἑώρακας αὐτὸν καὶ ὁ
λαλῶν μετὰ σοῦ ἐκεῖνός ἐστιν.